## TESTIMONIA SELECTA

**A**) Efeso (e Clazomene)

**1.** test. 3 Dg.$^{2}$ (Procl. *Chrest.* 7 *ap.* Phot. *Bibl.* 239, 319b 27-31)
ἰάμβων δὲ ποιηταὶ Ἀρχίλοχός τε ὁ Πάριος ἄριστος καὶ Σιμωνίδης ὁ Ἀμόργιος ἤ, ὡς ἔνιοι, Σάμιος, καὶ Ἱππῶναξ ὁ Ἐφέσιος· ὧν ὁ μὲν πρῶτος ἐπὶ Γύγου, ὁ δὲ ἐπ᾽ Ἀμύντου τοῦ Μακεδόνος, Ἱππῶναξ δὲ κατὰ Δαρεῖον ἤκμαζε.

**2.** test. 7 Dg.$^{2}$ (*Suda* ι 588 A.)
Ἱππώναξ, Πύθεω καὶ μητρὸς Πρωτίδος, Ἐφέσιος, ἰαμβογράφος. ᾤκησε δὲ Κλαζομενὰς ὑπὸ τῶν τυράννων Ἀθηναγόρα καὶ Κωμᾶ ἐξελαθείς. γράφει δὲ πρὸς Βούπαλον καὶ Ἄθηνιν ἀγαλματοποιούς, ὅτι αὐτοῦ εἰκόνας πρὸς ὕβριν εἰργάσαντο.

**3.** test. 46 Dg.$^{2}$ (Call. *Iamb.* 13 fr. 203,63-66 Pf.)
μηθ·[··]············ν̣ ἀ̣είδω
οὔτ᾽ [Ἔφεσο]ν ἐλ[θὼ] ν οὔτ̣᾽ [Ἴω]σι συμμείξας,
Ἔφεσον, ὅθεν π̣ερ οἱ τὰ μέτρα μέλλοντες
τὰ χωλὰ τίκτειν μὴ ἀμαθῶς ἐναύονται.

**4.** test. 65 Dg.$^{2}$ (Strab. XIV 1,25)
ἄνδρες δ᾽ ἀξιόλογοι γεγόνασιν ἐν αὐτῇ τῶν μὲν παλαιῶν Ἡράκλειτός τε ὁ σκοτεινὸς καλούμενος καὶ Ἑρμόδωρος, ... καὶ Ἱππῶναξ δ᾽ ἐστὶν ὁ ποιητὴς ἐξ Ἐφέσου καὶ Παρράσιος ὁ ζωγράφος καὶ Ἀπελλῆς, τῶν δὲ νεωτέρων [Ἀρτεμίδωρος καὶ] Ἀλέξανδρος ῥήτωρ ὁ Λύχνος προσαγορευθείς.

**B**) fine del VI sec. a.C.

**1.** test. 1 Dg.$^{2}$ (*Marm. Par. IG* XII/5 444, 42b,57b)
ἀφ᾽ οὗ Κῦρος ὁ Περσῶν βασιλεὺς Σάρδεις ἔλαβεν καὶ Κροῖσον ὑπὸ [τῆς Πυθία]ς σφαλ[έντα(), ἔτη *ΗΗ𐅄ΔΔΔΠ* — —, ἄρχοντος Ἀθήνησιν — — —]· [ἦν δὲ] καὶ Ἱππῶναξ κατὰ τοῦτον ὁ ἰαμβοποιός.

**2.** test. 2 Dg.$^{2}$ (Plin. *Nat.* XXXVI 11)
*iam fuerat in Chio insula Melas scalptor, dein filius eius Micciades ac deinde nepos Archermus, cuius filii Bupalus et Athenis vel clarissimi in ea scientia fuere Hipponactis poetae aetate, quem certum est LX Olympiade fuisse.*

**3.** test. 3 Dg.$^{2}$ (= **A1**, q. v.)

**4.** test. 4 Dg.$^{2}$ ([Plut.] *Mus.* 6, 1133d)
ἔνιοι δὲ πλανώμενοι νομίζουσι κατὰ τὸν <αὐτὸν> χρόνον Τερπάνδρῳ Ἱππώνακτα γεγονέναι. φαίνεται δ᾽ Ἱππώνακτος καὶ Περίκλειτος ὢν πρεσβύτερος.

**5.** test. 5 Dg.$^{2}$ (Cyrill. *Contra Iul.* 1,14 [*PG* IX 520d])
εἰκοστῇ ἐννάτῃ ὀλυμπιάδι Ἱππώνακτα καὶ Σιμωνίδην φασὶ γνωρίζεσθαι, καὶ τὸν μουσικὸν Ἀριστόξενον.

**6.** Euseb. *Chron.* (Hier.) Ol. 23,1 (= anno 688/687)
*Hipponax notissimus redditur*

**C**) contro Bupalo e Atenide

**1.** test. 7 Dg.$^{2}$ (= **A2**, q.v.)

**2.** test. 8 Dg.$^{2}$ (Plin. *Nat.* XXXVI 12)
*Hipponacti notabilis foeditas voltus erat; quam ob rem imaginem eius lascivia ioco<sa>m hi proposuere ridentium circulis, quod Hipponax indignatus destrinxit amaritudinem carminum in tantum, ut credatur aliquis ad laqueum eos conpulisse. quod falsum est. conplura enim in finitimis insulis simulacra postea fecere, sicut in Delo, quibus subiecerunt carmen non vitibus tantum censeri Chion, sed et operibus Archermi filiorum.*

**3.** test. 9 Dg.$^{2}$ (Hor. *Epod.* 6,11-14)
*cave cave, namque in malos asperrimus*
*parata tollo cornua,*
*qualis Lycambae spretus infido gener*
*aut acer hostis Bupalo.*

**D**) modello della poetica callimachea

**1.** test. 13 (Call. *Iamb.* 1 fr. 191,1-4 Pf.)
ἀκούσαθ᾽ Ἱππώνακτος· [ο]ὐ γὰρ ἀλλ᾽ ἥκω
ἐκ τῶν ὅκου βοῦν κολλύ[βου π]ιπρήσκουσιν,
φέρων ἴαμβον οὐ μάχην [ἀείδ]οντα
τὴν Βο]υ̣π̣[άλ]ε̣ι̣ο̣ν̣ [·]·ν̣ά̣·[···ἄ]νθρωπος

**2.** test. 46 Dg.$^{2}$ (= **A3**, q.v.)

## OPERA

raccolta di componimenti giambici in almeno due libri (cf. frr. 15-16 Dg.$^{2}$)

180 frammenti (oltre 200 con i *dubia*):
- trimetri giambici (frr. 1-119 Dg.$^{2}$)
- tetrametri giambici (fr. 120 Dg.$^{2}$)
- tetrametri trocaici (frr. 121-125 Dg.$^{2}$)
- esametri (frr. 126-128 Dg.$^{2}$)
- epodi (frr. 129-131 Dg.$^{2}$)
- metro incerto (frr. 132-183 Dg.$^{2}$)
- *utrum iam laudata necne incertum* (frr. 184-186 Dg.$^{2}$)
- *dubia* (frr. °187-°205 Dg.$^{2}$)
- *Hipponactia* (frr. *206-*214 Dg.$^{2}$)
- *spuria* (frr. °°215-°°220 Dg.$^{2}$)

coliambi (frr. 1-117 Dg.$^{2}$): in cui la sequenza ⏑– dell'ultimo piede giambico è sostituita da –× (talora l'intero ultimo metro è realizzato dalla sequenza –––×, detta "ischiorrogica", ovvero "dalle anche spezzate").

mondo di artigiani, commercianti, osti, indovini, prostitute, ladri, truffatori, e soprattutto nuovi artisti, quali gli scultori Bupalo (frr. 17-20, 77, 86, 98, 121, 144 Dg.$^{2}$), Atenide (fr. 70 Dg.$^{2}$) e Bione (fr. 157 Dg.$^{2}$), il pittore Mimne (fr. 39 Dg.$^{2}$), il vasaio Eschilide (fr. °196 Dg.$^{2}$), il musico e guaritore Cicone (frr. 3, 78, 105, 129e, 153, °188 Dg.$^{2}$), i suoi accoliti Codalo (frr. 129e, 153, °198 Dg.$^{2}$) e Babi (fr. 153 Dg.$^{2}$), l'affamato pitocco Sanno (fr. 129a Dg.$^{2}$), il crapulone Eurimedontiade (fr. 126 Dg.$^{2}$), e infine Arete, forse sorella incestuosa di Bupalo (frr. 20, 22-24 e forse 18 Dg.$^{2}$).